Πρ. πότερα πάλαι τεκοῦϲαν ἢ νεωϲτὶ δή;
Ηλ. δέχ᾽ ἡλίουϲ, ἐν οἷϲιν ἁγνεύει λεχώ.
Πρ. καὶ δὴ τί τοῦτο μητρὶ προϲβάλλει φόνον;
Ηλ. ἥξει κλύουϲα λόχιά μου νοϲήματα.
Πρ. πόθεν; †τί δ᾽† αὐτῆι ϲοῦ μέλειν δοκεῖϲ, τέκνον;
Ηλ. ναί· καὶ δακρύϲει γ᾽ ἀξίωμ᾽ ἐμῶν τόκων.
Πρ. ἴϲωϲ· πάλιν μοι μῦθον ἐϲ καμπὴν ἄγε.
Ηλ. ἐλθοῦϲα μέντοι δῆλον ὡϲ ἀπόλλυται.
Πρ. καὶ μὴν ἐπ᾽ αὐτάϲ γ᾽ εἶϲι ϲῶν δόμων πύλαϲ.
Ηλ. οὔκουν τραπέϲθαι ϲμικρὸν εἰϲ Ἅιδου τότε;
Πρ. εἰ γὰρ θάνοιμι τοῦτ᾽ ἰδὼν ἐγώ ποτε.
Ηλ. πρώτιϲτα μέν νυν τῶιδ᾽ ὑφήγηϲαι, γέρον.
Πρ. Αἴγιϲθοϲ ἔνθα νῦν θυηπολεῖ θεοῖϲ;
Ηλ. ἔπειτ᾽ ἀπαντῶν μητρὶ τἀπ᾽ ἐμοῦ φράϲον.
Πρ. ὥϲτ᾽ αὐτά γ᾽ ἐκ ϲοῦ ϲτόματοϲ εἰρῆϲθαι δοκεῖν.
Ηλ. ϲὸν ἔργον ἤδη· πρόϲθεν εἴληχαϲ φόνου.
Ορ. ϲτείχοιμ᾽ ἄν, εἴ τιϲ ἡγεμὼν γίγνοιθ᾽ ὁδοῦ.
Πρ. καὶ μὴν ἐγὼ πέμποιμ᾽ ἂν οὐκ ἀκουϲίωϲ.
Ορ. ὦ Ζεῦ πατρῶιε καὶ τροπαῖ᾽ ἐχθρῶν ἐμῶν
⟨Ηλ.⟩ οἴκτιρέ γ᾽ ἡμᾶϲ· οἰκτρὰ γὰρ πεπόνθαμεν.
Πρ. οἴκτιρε δῆτα ϲοῦ γε φύνταϲ ἐκγόνουϲ.
Ορ. Ἥρα τε βωμῶν ἣ Μυκηναίων κρατεῖϲ
⟨Ηλ.⟩ νίκην δὸϲ ἡμῖν, εἰ δίκαι᾽ αἰτούμεθα.